# ΜΙΧΑΙΑΣ

1 ΚΑΙ ἐγένετο λόγος Κυρίου πρὸς Μιχαίαν
τὸν τοῦ Μωρασθεὶ ἐν ἡμέραις Ἰωάθαμ καὶ
Ἄχαζ καὶ Ἐζεκίου βασιλέων Ἰούδα, ὑπὲρ ὧν
εἶδε περὶ Σαμαρείας καὶ περὶ Ἱερουσαλήμ.
2 Ἀκούσατε, λαοί, λόγους, καὶ προσεχέτω ἡ
γῆ καὶ πάντες οἱ ἐν αὐτῇ, καὶ ἔσται Κύριος ἐν
ὑμῖν εἰς μαρτύριον, Κύριος ἐξ οἴκου ἁγίου
αὐτοῦ.
3 διότι ἰδοὺ Κύριος ἐκπορεύεται ἐκ τοῦ
τόπου αὐτοῦ καὶ καταβήσεται καὶ ἐπιβήσεται
ἐπὶ τὰ ὕψη τῆς γῆς,
4 καὶ σαλευθήσεται τὰ ὄρη ὑποκάτωθεν
αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς
ἀπὸ προσώπου πυρὸς καὶ ὡς ὕδωρ
καταφερόμενον ἐν καταβάσει.
5 δι᾿ ἀσέβειαν Ἰακὼβ πάντα ταῦτα καὶ δι᾿
ἁμαρτίαν οἴκου Ἰσραήλ. τίς ἡ ἀσέβεια τοῦ
Ἰακώβ; οὐ Σαμάρεια; καὶ τίς ἡ ἁμαρτία οἴκου
Ἰούδα; οὐχὶ Ἱερουσαλήμ;
6 καὶ θήσομαι Σαμάρειαν εἰς
ὀπωροφυλάκιον ἀγροῦ καὶ εἰς φυτείαν
ἀμπελῶνος καὶ κατασπάσω εἰς χάος τοὺς
λίθους αὐτῆς καὶ τὰ θεμέλια αὐτῆς
ἀποκαλύψω.
7 καὶ πάντα τὰ γλυπτὰ αὐτῆς κατακόψουσι
καὶ πάντα τὰ μισθώματα αὐτῆς ἐμπρήσουσιν
ἐν πυρί, καὶ πάντα τὰ εἴδωλα αὐτῆς θήσομαι
εἰς ἀφανισμόν· διότι ἐκ μισθωμάτων

πορνείας συνήγαγε καὶ ἐκ μισθωμάτων
πορνείας συνέστρεψεν.
8 ἕνεκεν τούτου κόψεται καὶ θρηνήσει,
πορεύσεται ἀνυπόδετος καὶ γυμνή, ποιήσεται
κοπετὸν ὡς δρακόντων καὶ πένθος ὡς
θυγατέρων σειρήνων·
9 ὅτι κατεκράτησεν ἡ πληγὴ αὐτῆς, διότι
ἦλθεν ἕως Ἰούδα καὶ ἥψατο ἕως πύλης λαοῦ
μου, ἕως Ἱερουσαλήμ.
10 οἱ ἐν Γέθ, μὴ μεγαλύνεσθε· οἱ ἐν Ἀκείμ,
μὴ ἀνοικοδομεῖτε ἐξ οἴκου κατὰ γέλωτα, γῆν
καταπάσασθε κατὰ γέλωτα ὑμῶν.
11 κατοικοῦσα καλῶς τὰς πόλεις αὐτῆς, οὐκ
ἐξῆλθε κατοικοῦσα Σενναὰν κόψασθαι οἶκον
ἐχόμενον αὐτῆς, λήψεται ἐξ ὑμῶν πληγὴν
ὀδύνης.
12 τίς ἤρξατο εἰς ἀγαθὰ κατοικούσῃ
ὀδύνας; ὅτι κατέβη κακὰ παρὰ Κυρίου ἐπὶ
πύλας Ἱερουσαλήμ,
13 ψόφος ἁρμάτων καὶ ἱππευόντων.
κατοικοῦσα Λαχίς, ἀρχηγὸς ἁμαρτίας αὐτή
ἐστι τῇ θυγατρὶ Σιών, ὅτι ἐν σοὶ εὑρέθησαν
ἀσέβειαι τοῦ Ἰσραήλ.
14 διὰ τοῦτο δώσεις ἐξαποστελλομένους
ἕως κληρονομίας Γὲθ οἴκους ματαίους· εἰς
κενὸν ἐγένοντο τοῖς βασιλεῦσι τοῦ Ἰσραήλ,
15 ἕως τοὺς κληρονόμους ἀγάγωσι,
κατοικοῦσα Λαχὶς κληρονομία, ἕως Ὀδολλὰμ
ἥξει ἡ δόξα τῆς θυγατρὸς Ἰσραήλ.
16 ξύρησαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα τὰ
τρυφερά σου, ἐμπλάτυνον τὴν χηρείαν σου

ὡς ἀετός, ὅτι ᾐχμαλωτεύθησαν ἀπὸ σοῦ.

# 2

1 ΕΓΕΝΟΝΤΟ λογιζόμενοι κόπους καὶ
ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις αὐτῶν καὶ
ἅμα τῇ ἡμέρᾳ συνετέλουν αὐτά, διότι οὐκ
ᾖραν πρὸς τὸν Θεὸν χεῖρας αὐτῶν.
2 καὶ ἐπεθύμουν ἀγροὺς καὶ διήρπαζον
ὀρφανοὺς καὶ οἴκους κατεδυνάστευον καὶ
διήρπαζον ἄνδρα καὶ τὸν οἶκον αὐτοῦ, ἄνδρα
καὶ τὴν κληρονομίαν αὐτοῦ.
3 διὰ τοῦτο τάδε λέγει Κύριος· ἰδοὺ ἐγὼ
λογίζομαι ἐπὶ τὴν φυλὴν ταύτην κακά, ἐξ ὧν
οὐ μὴ ἄρητε τοὺς τραχήλους ὑμῶν καὶ οὐ μὴ
πορευθῆτε ὀρθοὶ ἐξαίφνης, ὅτι καιρὸς
πονηρός ἐστιν.
4 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ληφθήσεται ἐφ᾿ ὑμᾶς
παραβολή, καὶ θρηνηθήσεται θρῆνος ἐν μέλει
λέγων· ταλαιπωρίᾳ ἐταλαιπωρήσαμεν· μερὶς
λαοῦ μου κατεμετρήθη ἐν σχοινίῳ, καὶ οὐκ ἦν
ὁ κωλύων αὐτὸν τοῦ ἀποστρέψαι· οἱ ἀγροὶ
ὑμῶν διεμερίσθησαν.
5 διὰ τοῦτο οὐκ ἔσται σοι βάλλων σχοινίον
ἐν κλήρῳ ἐν ἐκκλησίᾳ Κυρίου.
6 μὴ κλαίετε δάκρυσι, μηδὲ δακρυέτωσαν
ἐπὶ τούτοις· οὐδὲ γὰρ ἀπώσεται ὀνείδη.
7 ὁ λέγων· οἶκος Ἰακὼβ παρώργισε πνεῦμα
Κυρίου· οὐ ταῦτα τὰ ἐπιτηδεύματα αὐτοῦ
ἐστιν; οὐχ οἱ λόγοι αὐτοῦ εἰσι καλοὶ μετ᾿
αὐτοῦ καὶ ὀρθοὶ πεπόρευνται;

8 καὶ ἔμπροσθεν ὁ λαός μου εἰς ἔχθραν
ἀντέστη· κατέναντι τῆς εἰρήνης αὐτοῦ τὴν
δορὰν αὐτοῦ ἐξέδειραν τοῦ ἀφελέσθαι
ἐλπίδα συντριμμὸν πολέμου.
9 διὰ τοῦτο ἡγούμενοι λαοῦ μου
ἀπορριφήσονται ἐκ τῶν οἰκιῶν τρυφῆς
αὐτῶν, διὰ τὰ πονηρὰ ἐπιτηδεύματα αὐτῶν
ἐξώσθησαν· ἐγγίσατε ὄρεσιν αἰωνίοις.
10 ἀνάστηθι καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι
αὕτη ἀνάπαυσις ἕνεκεν ἀκαθαρσίας.
διεφθάρητε φθορᾷ,
11 κατεδιώχθητε οὐδενὸς διώκοντος·
πνεῦμα ἔστησε ψεῦδος, ἐστάλαξέ σοι εἰς
οἶνον καὶ μέθυσμα. καὶ ἔσται ἐκ τῆς
σταγόνος τοῦ λαοῦ τούτου.
12 συναγόμενος συναχθήσεται Ἰακὼβ σὺν
πᾶσιν· ἐκδεχόμενος ἐκδέξομαι τοὺς
καταλοίπους τοῦ Ἰσραήλ, ἐπὶ τὸ αὐτὸ
θήσομαι τὴν ἀποστροφὴν αὐτοῦ· ὡς πρόβατα
ἐν θλίψει, ὡς ποίμνιον ἐν μέσῳ κοίτης αὐτῶν
ἐξαλοῦνται ἐξ ἀνθρώπων·
13 διά τῆς διακοπῆς πρὸ προσώπου αὐτῶν
διέκοψαν καὶ διῆλθον πύλην καὶ ἐξῆλθον δι᾿
αὐτῆς, καὶ ἐξῆλθεν ὁ βασιλεὺς αὐτῶν πρὸ
προσώπου αὐτῶν, ὁ δὲ Κύριος ἡγήσεται
αὐτῶν.

# 3

1 ΚΑΙ ἐρεῖ· ἀκούσατε δὴ ταῦτα, αἱ ἀρχαὶ
οἴκου Ἰακὼβ καὶ οἱ κατάλοιποι οἴκου Ἰσραήλ.
οὐχ ὑμῖν ἐστι τοῦ γνῶναι τὸ κρίμα;

2 μισοῦντες τὰ καλὰ καὶ ζητοῦντες τὰ
πονηρά, ἁρπάζοντες τὰ δέρματα αὐτῶν ἀπ᾿
αὐτῶν καὶ τὰς σάρκας αὐτῶν ἀπὸ τῶν
ὀστέων αὐτῶν.
3 ὃν τρόπον κατέφαγον τὰς σάρκας τοῦ
λαοῦ μου καὶ τὰ δέρματα αὐτῶν ἀπ᾿ αὐτῶν
ἐξέδειραν καὶ τὰ ὀστέα αὐτῶν συνέθλασαν
καὶ ἐμέλισαν ὡς σάρκας εἰς λέβητα καὶ ὡς
κρέα εἰς χύτραν,
4 οὕτως κεκράξονται πρὸς τὸν Κύριον, καὶ
οὐκ εἰσακούσεται αὐτῶν. καὶ ἀποστρέψει τὸ
πρόσωπον αὐτοῦ ἀπ᾿ αὐτῶν ἐν τῷ καιρῷ
ἐκείνῳ, ἀνθ᾿ ὧν ἐπονηρεύσαντο ἐν τοῖς
ἐπιτηδεύμασιν αὐτῶν ἐπ᾿ αὐτούς.
5 τάδε λέγει Κύριος ἐπὶ τοὺς προφήτας τοὺς
πλανῶντας τὸν λαόν μου, τοὺς δάκνοντας ἐν
τοῖς ὀδοῦσιν αὐτῶν καὶ κηρύσσοντας
εἰρήνην ἐπ᾿ αὐτόν, καὶ οὐκ ἐδόθη εἰς τὸ
στόμα αὐτῶν, ἤγειραν ἐπ᾿ αὐτὸν πόλεμον.
6 διὰ τοῦτο νὺξ ὑμῖν ἔσται ἐξ ὁράσεως, καὶ
σκοτία ἔσται ὑμῖν ἐκ μαντείας, καὶ δύσεται ὁ
ἥλιος ἐπὶ τοὺς προφήτας, καὶ συσκοτάσει ἐπ᾿
αὐτοὺς ἡ ἡμέρα.
7 καὶ καταισχυνθήσονται οἱ ὁρῶντες τὰ
ἐνύπνια, καὶ καταγελασθήσονται οἱ μάντεις,
καὶ καταλαλήσουσι κατ᾿ αὐτῶν πάντες
αὐτοί, διότι οὐκ ἔσται ὁ ἐπακούων αὐτῶν.
8 ἐὰν μὴ ἐγὼ ἐμπλήσω ἰσχὺν ἐν πνεύματι
Κυρίου καὶ κρίματος καὶ δυναστείας τοῦ
ἀπαγγεῖλαι τῷ Ἰακὼβ ἀσεβείας αὐτοῦ καὶ τῷ
Ἰσραὴλ ἁμαρτίας αὐτοῦ.
9 ἀκούσατε δὴ ταῦτα, οἱ ἡγούμενοι οἴκου

Ἰακὼβ καὶ οἱ κατάλοιποι οἴκου Ἰσραήλ, οἱ
βδελυσσόμενοι κρίμα καὶ πάντα τὰ ὀρθὰ
διαστρέφοντες,
10 οἱ οἰκοδομοῦντες Σιὼν ἐν αἵμασι καὶ
Ἱερουσαλὴμ ἐν ἀδικίαις.
11 οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον,
καὶ οἱ ἱερεῖς αὐτῆς μετὰ μισθοῦ ἀπεκρίνοντο,
καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου
ἐμαντεύοντο, καὶ ἐπὶ τὸν Κύριον
ἐπανεπαύοντο λέγοντες· οὐχὶ ὁ Κύριος ἐν
ἡμῖν ἐστιν; οὐ μὴ ἐπέλθῃ ἐφ᾿ ἡμᾶς κακά.
12 διὰ τοῦτο δι᾿ ἡμᾶς Σιὼν ὡς ἀγρὸς
ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ ὡς
ὀπωροφυλάκιον ἔσται καὶ τὸ ὄρος τοῦ οἴκου
εἰς ἄλσος δρυμοῦ.

# 4

1 ΚΑΙ ἔσται ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν
ἐμφανὲς τὸ ὄρος Κυρίου, ἕτοιμον ἐπὶ τὰς
κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται
ὑπεράνω τῶν βουνῶν· καὶ σπεύσουσι πρὸς
αὐτὸ λαοί,
2 καὶ πορεύσονται ἔθνη πολλὰ καὶ ἐροῦσι·
δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου καὶ εἰς
τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ δείξουσιν
ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν
ταῖς τρίβοις αὐτοῦ· ὅτι ἐκ Σιὼν ἐξελεύσεται
νόμος καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ.
3 καὶ κρινεῖ ἀνὰ μέσον λαῶν πολλῶν καὶ
ἐξελέγξει ἔθνη ἰσχυρὰ ἕως εἰς μακράν, καὶ
κατακόψουσι τὰς ῥομφαίας αὐτῶν εἰς
ἄροτρα καὶ τὰ δόρατα αὐτῶν εἰς δρέπανα,

καὶ οὐκέτι μὴ ἀντάρῃ ἔθνος ἐπ᾿ ἔθνος
ρομφαίαν, καὶ οὐκέτι μὴ μάθωσι πολεμεῖν.
4 καὶ ἀναπαύσεται ἕκαστος ὑποκάτω
ἀμπέλου αὐτοῦ καὶ ἕκαστος ὑποκάτω συκῆς
αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν, διότι τὸ
στόμα Κυρίου παντοκράτορος ἐλάλησε
ταῦτα.
5 ὅτι πάντες οἱ λαοὶ πορεύσονται ἕκαστος
τὴν ὁδὸν αὐτοῦ, ἡμεῖς δὲ πορευσόμεθα ἐν
ὀνόματι Κυρίου Θεοῦ ἡμῶν εἰς τὸν αἰῶνα καὶ
ἐπέκεινα.
6 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, συνάξω
τὴν συντετριμμένην καὶ τὴν ἐξωσμένην
εἰσδέξομαι καὶ οὓς ἀπωσάμην·
7 καὶ θήσομαι τὴν συντετριμμένην εἰς
ὑπόλειμμα καὶ τὴν ἀπωσμένην εἰς ἔθνος
δυνατόν, καὶ βασιλεύσει Κύριος ἐπ᾿ αὐτοὺς
ἐν ὄρει Σιὼν ἀπὸ τοῦ νῦν καὶ ἕως εἰς τὸν
αἰῶνα.
8 καὶ σὺ πύργος ποιμνίου αὐχμώδης,
θύγατερ Σιών, ἐπὶ σὲ ἥξει καὶ εἰσελεύσεται ἡ
ἀρχὴ ἡ πρώτη, βασιλεία ἐκ Βαβυλῶνος τῇ
θυγατρὶ Ἱερουσαλήμ.
9 Καὶ νῦν ἱνατί ἔγνως κακά; μὴ βασιλεὺς
οὐκ ἦν σοι; ἢ ἡ βουλή σου ἀπώλετο ὅτι
κατεκράτησάν σου ὠδῖνες ὡς τικτούσης;
10 ὤδινε καὶ ἀνδρίζου καὶ ἔγγιζε, θύγατερ
Σιών, ὡς τίκτουσα· διότι νῦν ἐξελεύσῃ ἐκ
πόλεως καὶ κατασκηνώσεις ἐν πεδίῳ καὶ
ἥξεις ἕως Βαβυλῶνος· ἐκεῖθεν ρύσεταί σε καὶ
ἐκεῖθεν λυτρώσεταί σε Κύριος ὁ Θεός σου ἐκ
χειρὸς ἐχθρῶν σου.

11 καὶ νῦν ἐπισυνήχθησαν ἐπὶ σὲ ἔθνη
πολλὰ οἱ λέγοντες· ἐπιχαρούμεθα, καὶ
ἐπόψονται ἐπὶ Σιὼν οἱ ὀφθαλμοὶ ἡμῶν.
12 αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὸν λογισμὸν
Κυρίου καὶ οὐ συνῆκαν τὴν βουλὴν αὐτοῦ, ὅτι
συνήγαγεν αὐτοὺς ὡς δράγματα ἅλωνος.
13 ἀνάστηθι, καὶ ἀλόα αὐτούς, θύγατερ
Σιών, ὅτι τὰ κέρατά σου θήσομαι σιδηρᾶ καὶ
τὰς ὁπλάς σου θήσομαι χαλκᾶς, καὶ
κατατήξεις ἐν αὐτοῖς ἔθνη καὶ λεπτυνεῖς
λαοὺς πολλοὺς καὶ ἀναθήσεις τῷ Κυρίῳ τὸ
πλῆθος αὐτῶν καὶ τὴν ἰσχὺν αὐτῶν τῷ Κυρίῳ
πάσης τῆς γῆς.
14 νῦν ἐμφραχθήσεται θυγάτηρ Ἐφραὶμ ἐν
φραγμῷ, συνοχὴν ἔταξεν ἐφ᾽ ἡμᾶς, ἐν ῥάβδῳ
πατάξουσιν ἐπὶ σιαγόνα τὰς φυλὰς τοῦ
Ἰσραήλ.

# 5

1 ΚΑΙ σύ, Βηθλεέμ, οἶκος τοῦ Ἐφραθά,
ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ
σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν
τῷ Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ᾽ ἀρχῆς ἐξ
ἡμερῶν αἰῶνος.
2 διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ
τικτούσης τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν
ἀδελφῶν αὐτῶν ἐπιστρέψουσιν ἐπὶ τοὺς
υἱοὺς Ἰσραήλ.
3 καὶ στήσεται καὶ ὄψεται καὶ ποιμανεῖ τὸ
ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ Κύριος, καὶ ἐν τῇ
δόξῃ ὀνόματος Κυρίου Θεοῦ αὐτῶν

ὑπάρξουσι, διότι νῦν μεγαλυνθήσονται ἕως ἄκρων τῆς γῆς.
4 καὶ ἔσται αὕτη εἰρήνη· ὅταν Ἀσσύριος
ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν καὶ ὅταν ἐπιβῇ ἐπὶ
τὴν χώραν ὑμῶν, καὶ ἐπεγερθήσονται ἐπʼ
αὐτὸν ἑπτὰ ποιμένες καὶ ὀκτὼ δήγματα
ἀνθρώπων·
5 καὶ ποιμανοῦσι τὸν Ἀσσοὺρ ἐν ρομφαίᾳ
καὶ τὴν γῆν τοῦ Νεβρὼδ ἐν τῇ τάφρῳ αὐτῆς·
καὶ ρύσεται ἐκ τοῦ Ἀσσούρ, ὅταν ἐπέλθῃ ἐπὶ
τὴν γῆν ὑμῶν καὶ ὅταν ἐπιβῇ ἐπὶ τὰ ὅρια
ὑμῶν.
6 καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ Ἰακὼβ ἐν τοῖς
ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν ὡς δρόσος
παρὰ Κυρίου πίπτουσα καὶ ὡς ἄρνες ἐπὶ
ἄγρωστιν, ὅπως μὴ συναχθῇ μηδεὶς μηδὲ
ὑποστῇ ἐν υἱοῖς ἀνθρώπων.
7 καὶ ἔσται τὸ ὑπόλειμμα Ἰακὼβ ἐν τοῖς
ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν ὡς λέων ἐν
κτήνεσι ἐν τῷ δρυμῷ καὶ ὡς σκύμνος ἐν
ποιμνίοις προβάτων, ὃν τρόπον ὅταν διέλθῃ
καὶ διαστείλας ἁρπάσῃ καὶ μὴ ᾖ ὁ
ἐξαιρούμενος.
8 ὑψωθήσεται ἡ χείρ σου ἐπὶ τοὺς
θλίβοντάς σε, καὶ πάντες οἱ ἐχθροί σου
ἐξολοθρευθήσονται.
9 Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει
Κύριος, ἐξολοθρεύσω τοὺς ἵππους ἐκ μέσου
σου καὶ ἀπολῶ τὰ ἅρματά σου
10 καὶ ἐξολοθρεύσω τὰς πόλεις τῆς γῆς σου
καὶ ἐξαρῶ πάντα τὰ ὀχυρώματά σου·

11 καὶ ἐξαρῶ τὰ φάρμακά σου ἐκ τῶν
χειρῶν σου, καὶ ἀποφθεγγόμενοι οὐκ ἔσονται
ἐν σοί·
12 καὶ ἐξολοθρεύσω τὰ γλυπτά σου καὶ τὰς
στήλας σου ἐκ μέσου σου, καὶ οὐκέτι μὴ
προσκυνήσῃς τοῖς ἔργοις τῶν χειρῶν σου·
13 καὶ ἐκκόψω τὰ ἄλση ἐκ μέσου σου καὶ
ἀφανιῶ τὰς πόλεις σου·
14 καὶ ποιήσω ἐν ὀργῇ καὶ ἐν θυμῷ
ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἀνθ᾿ ὧν οὐκ
εἰσήκουσαν.

# 6

1 ΑΚΟΥΣΑΤΕ δὴ λόγον Κυρίου· Κύριος
εἶπεν· ἀνάστηθι κρίθητι πρὸς τὰ ὄρη, καὶ
ἀκουσάτωσαν βουνοὶ φωνήν σου.
2 ἀκούσατε ὄρη, τὴν κρίσιν τοῦ Κυρίου, καὶ
αἱ φάραγγες θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ
Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ
Ἰσραὴλ διελεγχθήσεται.
3 λαός μου, τί ἐποίησά σοι ἢ τί ἐλύπησά σε
ἢ τί παρηνώχλησά σοι; ἀποκρίθητί μοι.
4 διότι ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου καὶ ἐξ
οἴκου δουλείας ἐλυτρωσάμην σε καὶ
ἐξαπέστειλα πρὸ προσώπου σου τὸν Μωυσῆν
καὶ Ἀαρὼν καὶ Μαριάμ.
5 λαός μου, μνήσθητι δὴ τί ἐβουλεύσατο
κατὰ σοῦ Βαλὰκ βασιλεὺς Μωὰβ καὶ τί
ἀπεκρίθη αὐτῷ Βαλαὰμ υἱὸς τοῦ Βεὼρ ἀπὸ
τῶν σχοίνων ἕως τοῦ Γαλγάλ, ὅπως γνωσθῇ
ἡ δικαιοσύνη τοῦ Κυρίου.

6 ἐν τίνι καταλάβω τὸν Κύριον,
ἀντιλήψομαι Θεοῦ μου Ὑψίστου; εἰ
καταλήψομαι αὐτὸν ἐν ὁλοκαυτώμασιν, ἐν
μόσχοις ἐνιαυσίοις;
7 εἰ προσδέξεται Κύριος ἐν χιλιάσι κριῶν ἢ
ἐν μυριάσι χιμάρων πιόνων; εἰ δῶ
πρωτότοκά μου ὑπὲρ ἀσεβείας, καρπὸν
κοιλίας μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου;
8 εἰ ἀνηγγέλη σοι, ἄνθρωπε, τί καλόν; ἢ τί
Κύριος ἐκζητεῖ παρὰ σοῦ ἀλλ᾽ ἢ τοῦ ποιεῖν
κρίμα καὶ ἀγαπᾶν ἔλεον καὶ ἕτοιμον εἶναι
τοῦ πορεύεσθαι μετὰ Κυρίου Θεοῦ σου;
9 Φωνὴ Κυρίου τῇ πόλει ἐπικληθήσεται, καὶ
σώσει φοβουμένους τὸ ὄνομα αὐτοῦ. ἄκουε,
φυλή, καὶ τίς κοσμήσει πόλιν;
10 μὴ πῦρ καὶ οἶκος ἀνόμου θησαυρίζων
θησαυροὺς ἀνόμους καὶ μετὰ ὕβρεως ἀδικία;
11 εἰ δικαιωθήσεται ἐν ζυγῷ ἄνομος καὶ ἐν
μαρσίππῳ στάθμια δόλου;
12 ἐξ ὧν τὸν πλοῦτον αὐτῶν ἀσεβείας
ἔπλησαν, καὶ οἱ κατοικοῦντες αὐτὴν ἐλάλουν
ψεύδη, καὶ ἡ γλῶσσα αὐτῶν ὑψώθη ἐν τῷ
στόματι αὐτῶν.
13 καὶ ἐγὼ ἄρξομαι τοῦ πατάξαι σε, ἀφανιῶ
σε ἐν ταῖς ἁμαρτίαις σου.
14 σὺ φάγεσαι καὶ οὐ μὴ ἐμπλησθῇς· καὶ
συσκοτάσει ἐν σοὶ καὶ ἐκνεύσει, καὶ οὐ μὴ
διασωθῇς· καὶ ὅσοι ἂν διασωθῶσιν, εἰς
ρομφαίαν παραδοθήσονται.
15 σὺ σπερεῖς καὶ οὐ μὴ ἀμήσῃς, σὺ πιέσεις
ἐλαίαν καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον, καὶ οἶνον

καὶ οὐ μὴ πίητε, καὶ ἀφανισθήσεται νόμιμα
λαοῦ μου.
16 καὶ ἐφύλαξας τὰ δικαιώματα Ζαμβρὶ καὶ
πάντα τὰ ἔργα οἴκου Ἀχαὰβ καὶ ἐπορεύθητε
ἐν ταῖς βουλαῖς αὐτῶν, ὅπως παραδῶ σε εἰς
ἀφανισμὸν καὶ τοὺς κατοικοῦντας αὐτὴν εἰς
συρισμόν· καὶ ὀνείδη λαῶν λήψεσθε.

# 7

1 ΟΙΜΟΙ, ὅτι ἐγενήθην ὡς συνάγων
καλάμην ἐν ἀμήτῳ, καὶ ὡς ἐπιφυλλίδα ἐν
τρυγητῷ, οὐχ ὑπάρχοντος βότρυος τοῦ
φαγεῖν τὰ πρωτόγονα. οἴμοι, ψυχή,
2 ὅτι ἀπόλωλεν εὐσεβὴς ἀπὸ τῆς γῆς καὶ
κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει· πάντες
εἰς αἵματα δικάζονται, ἕκαστος τὸν πλησίον
αὐτοῦ ἐκθλίβουσιν ἐκθλιβῇ,
3 ἐπὶ τὸ κακὸν τὰς χεῖρας αὐτῶν
ἑτοιμάζουσιν. ὁ ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς
εἰρηνικοὺς λόγους ἐλάλησε, καταθύμιον
ψυχῆς αὐτοῦ ἐστι. καὶ ἐξελοῦμαι τὰ ἀγαθὰ
αὐτῶν
4 ὡς σὴς ἐκτρώγων καὶ βαδίζων ἐπὶ
κανόνος ἐν ἡμέρᾳ σκοπιᾶς. οὐαὶ οὐαί, αἱ
ἐκδικήσεις σου ἥκασι, νῦν ἔσονται κλαυθμοὶ
αὐτῶν.
5 μὴ καταπιστεύετε ἐν φίλοις καὶ μὴ
ἐλπίζετε ἐπὶ ἡγουμένοις, ἀπὸ τῆς συγκοίτου
σου φύλαξαι τοῦ ἀναθέσθαι τι αὐτῇ·
6 διότι υἱὸς ἀτιμάζει πατέρα, θυγάτηρ
ἐπαναστήσεται ἐπὶ τὴν μητέρα αὐτῆς, νύμφη

ἐπὶ τὴν πενθερὰν αὐτῆς, ἐχθροὶ πάντες
ἀνδρὸς οἱ ἐν τῷ οἴκῳ αὐτοῦ.
7 Ἐγὼ δὲ ἐπὶ τὸν Κύριον ἐπιβλέψομαι,
ὑπομενῶ ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου,
εἰσακούσεταί μου ὁ Θεός μου.
8 μὴ ἐπίχαιρέ μοι, ἡ ἐχθρά μου, ὅτι
πέπτωκα· καὶ ἀναστήσομαι, διότι ἐὰν καθίσω
ἐν τῷ σκότει, Κύριος φωτιεῖ μοι.
9 ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ,
ἕως τοῦ δικαιῶσαι αὐτὸν τὴν δίκην μου· καὶ
ποιήσει τὸ κρίμα μου καὶ ἐξάξει με εἰς τὸ
φῶς. ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ,
10 καὶ ὄψεται ἡ ἐχθρά μου καὶ περιβαλεῖται
αἰσχύνην ἡ λέγουσα πρός με· ποῦ Κύριος ὁ
Θεός σου; οἱ ὀφθαλμοί μου ἐπόψονται αὐτήν·
νῦν ἔσται εἰς καταπάτημα ὡς πηλὸς ἐν ταῖς
ὁδοῖς
11 ἡμέρας ἀλοιφῆς πλίνθου. ἐξάλειψίς σου
ἡ ἡμέρα ἐκείνη, καὶ ἀποτρίψεται νόμιμά σου
ἡ ἡμέρα ἐκείνη·
12 καὶ αἱ πόλεις σου ἥξουσιν εἰς ὁμαλισμὸν
καὶ εἰς διαμερισμὸν Ἀσσυρίων καὶ αἱ πόλεις
σου αἱ ὀχυραὶ εἰς διαμερισμὸν ἀπὸ Τύρου
ἕως τοῦ ποταμοῦ καὶ ἀπὸ θαλάσσης ἕως
θαλάσσης καὶ ἀπὸ ὄρους ἕως τοῦ ὄρους·
13 καὶ ἔσται ἡ γῆ εἰς ἀφανισμὸν σὺν τοῖς
κατοικοῦσιν αὐτὴν ἀπὸ καρπῶν
ἐπιτηδευμάτων αὐτῶν.
14 Ποίμανε λαόν σου ἐν ράβδῳ σου,
πρόβατα κληρονομίας σου, κατασκηνοῦντας
καθ᾿ ἑαυτοὺς δρυμὸν ἐν μέσῳ τοῦ Καρμήλου·
νεμήσονται τὴν Βασανῖτιν καὶ τὴν

Γαλλαδῖτιν καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος.
15 καὶ κατὰ τὰς ἡμέρας ἐξοδίας σου ἐξ
Αἰγύπτου ὄψεσθε θαυμαστά.
16 ὄψονται ἔθνη καὶ καταισχυνθήσονται ἐκ
πάσης τῆς ἰσχύος αὐτῶν, ἐπιθήσουσι χεῖρας
ἐπὶ τὸ στόμα αὐτῶν, τὰ ὦτα αὐτῶν
ἀποκωφωθήσεται,
17 λείξουσι χοῦν ὡς ὄφεις σύροντες γῆν,
συγχυθήσονται ἐν συγκλεισμῷ αὐτῶν· ἐπὶ τῷ
Κυρίῳ Θεῷ ἡμῶν ἐκστήσονται καὶ
φοβηθήσονται ἀπὸ σοῦ.
18 τίς Θεὸς ὥσπερ σύ; ἐξαίρων ἀνομίας καὶ
ὑπερβαίνων ἀσεβείας τοῖς καταλοίποις τῆς
κληρονομίας αὐτοῦ καὶ οὐ συνέσχεν εἰς
μαρτύριον ὀργήν αὐτοῦ, ὅτι θελητὴς ἐλέους
ἐστίν.
19 αὐτὸς ἐπιστρέψει καὶ οἰκτειρήσει ἡμᾶς,
καταδύσει τὰς ἀδικίας ἡμῶν καὶ
ἀπορριφήσονται εἰς τὰ βάθη τῆς θαλάσσης,
πάσας τὰς ἁμαρτίας ἡμῶν.
20 δώσει εἰς ἀλήθειαν τῷ Ἰακώβ, ἔλεον τῷ
Ἀβραάμ, καθότι ὤμοσας τοῖς πατράσιν ἡμῶν
κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν.

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA
## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI">https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

---

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a